θισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευ-
δήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ καὶ
μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίγνετο, καὶ
ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ' οὕτως ἠλιθίως διεκείμην,
ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην
εἶναι τῶν ἐν τῇ πόλει. Προϊόντος δὲ τοῦ χρόνου, ὦ 11
ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ
δεῖπνον τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θερα-
παίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ· ὁ γὰρ ἄν-
θρωπος ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ 12
ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ
τὸν τιτθόν, ἵνα παύσηται κλᾶον. ἡ δὲ τὸ μὲν πρῶτον
οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρό-
νου· ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν
ἀπιέναι, „ἵνα σύ γε“ ἔφη „πειρᾷς ἐνταῦθα τὴν παιδί-
σκην· καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν.“ κἀγὼ μὲν 13
ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι
τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλ-
κεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος οὐδ' ὑπονοῶν
ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς 14
ἡμέραν, ἧκεν ἐκείνη καὶ τὴν | θύραν ἀνέῳξεν. ἐρομένου
δέ μου τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον
ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτό-
νων ἐνάψασθαι. ἐσιώπων ἐγὼ καὶ ταῦτα οὕτως ἔχειν
ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμυ-
θιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέ-
ρας· ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγμα-
τος ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. Μετὰ δὲ ταῦτα, ὦ ἄν- 15
δρες, χρόνου μεταξὺ διαγενομένου καὶ ἐμοῦ πολὺ ἀπο-
λελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοί τις
πρεσβῦτις ἄνθρωπος, ὑπὸ γυναικὸς ὑποπεμφθεῖσα ἣν